**Λαόνικος Χαλκοκονδύλης, Ιστορία** – έκδ. E. Darkò

# ΛΑΟΝΙΚΟΥ ΧΑΛΚΟΚΟΝΔΥΛΟΥ *)

## ΑΘΗΝΑΙΟΥ

## ΑΠΟΔΕΙΞΙΣ ΙΣΤΟΡΙΩΝ ΠΡΩΤΗ.

Λαονίκῳ Ἀθηναίῳ τῶν κατὰ τὸν βίον οἱ ἐς θέαν τε καὶ ἀκοὴν Par. ἀφιγμένων ἐς ἱστορίαν ξυγγέγραπται τάδε,

τῆς τε Ἑλλήνων φημὶ τελευτῆς τὰ ἐς τὴν ἀρχὴν αὐτῶν ἐπισυμβεβηκότα, καὶ Τούρκων ἐπὶ μέγα δυνάμεως καὶ ἐπὶ μέγιστον τῶν πώποτε ἤδη ἀφικομένων.

Ἕλληνες μὲν οὖν ὅσα ἀποδεικνύμενοι ἔργα μεγάλα τε καὶ περιφανῆ ἐπὶ μέγα ἀφίκοντο κλέος . . .

καὶ ἀπὸ ταύτης δὴ τῆς διαφορᾶς συ- V. 3 χνούς τε τῶν ἑσπερίων καὶ δὴ καὶ Ἐνετούς, ἐνάγοντος ἐπὶ τάδε τοῦ Ῥωμαίων ἀρχιερέως, στόλῳ στρατεύσεσθαι μεγάλῳ ἐπὶ τοὺς Ἕλληνας, καὶ ἐπιόντας ἐς τὸ Βυζάντιον ἀφικέσθαι καὶ τὴν πόλιν κατὰ κράτος ἑλεῖν. βασιλέα τε Βυζαντίου καὶ Ἑλλήνων τοὺς ἀρίστους οἴχεσθαι διαβάντας ἐς τὴν Ἀσίαν, ἀφικομένους δὲ ἀποδεικνύναι σφίσι Νίκαιαν τὴν Ἑλληνίδα πόλιν, τὰ βασίλεια ἐν αὐτῇ ποιουμένους. μετὰ δὲ ταῦτα οὐ πολλοῖς ἔτεσιν ὕστερον ἀπολαβεῖν τε αὖθις Βυζάντιον, κρύφα εἰσεληλυθότας ἐς τὴν πόλιν, καὶ ἐς τὴν Εὐρώπην αὖ διαβάν- D τας διαγενέσθαι ἐν αὐτῇ βασιλεύοντας. βασιλέα δὲ Ἑλλήνων μετὰ ταῦτα Ἰωάννην ἐπὶ ξυροῦ ἀκμῆς ἤδη αἰσθόμενον τὰ Ἑλλήνων πράγματα, λαβόντα τε τοὺς Βυζαντίου ἀρχιερεῖς καὶ Ἑλλήνων τοὺς ἐλλογίμους, διαπλεῦσαι ἀπιόντα ἐς Ἰταλίαν, ἔς γε τὸν ἀπὸ Τούρκων ἐπηρτημένον οἱ κίνδυνον ἐπικουρίαν οἰόμενος οἴσεσθαι, ἢν ἐκείνοις τὰ κατὰ τὴν θρησκείαν

ξυμβῇ. γενόμενον δὲ ἐν Ἰταλίᾳ καὶ κοινωνησάμενον τῷ Ῥωμαίων ἀρχιερεῖ τὴν περὶ τὴν θρησκείαν διαφοράν, εἰς διάλεξιν μὲν πρῶτον καταστῆναι πολυπραγμονοῦντας, τελευτῶντα δὲ ξυμβῆναι αὐτῷ ἅμα τοῖς Ἕλλησι τὰ κατὰ τὴν δια- P. 4 φορὰν σφίσιν ξυνῳδὰ ἀποδεικνυμένους καὶ τὴν διαφορὰν σφίσι διαλυομένους, ἐπικουρίας δὲ τυχόντα ἐν μέρει ἀποκομίζεσθαι αὖθις ἐπὶ Βυζαντίου. τοὺς μέντοι Ἕλληνας ἐπ' οἴκου γενομένους μὴ ἐμμεῖναι τοῖς ἐν Ἰταλίᾳ καὶ ἐν συνόδοις πεπραγμένοις, ἀξιοῦντας σφίσι μηδαμῇ εὐαγὲς εἶναι Ῥωμαίοις, ὡς δὴ μὴ αἴσια διισχυριζομένοις, συντίθεσθαι τὸ παράπαν, καὶ οὕτω διάφορα διὰ τέλους γενέσθαι Ἕλλησι τὰ πρὸς Ῥωμαίους.